www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ
# ΙΩΝΑ

(ἑορταζομένου τῇ 22ᾳ Σεπτεμβρίου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
φιλαγίῳ αἰτήσει τοῦ πανοσιολογιωτάτου ἀρχιμανδρίτου Ἰωνᾶ,
Καθηγουμένου τῆς Ἱερᾶς Μονῆς Παναγίας Κεφτὶν Λιβάνου

* Ἅγιον Ὄρος Ἄθως * ͵βιβ´ * 2012 *

www.tezaurliturgic.ro




ΤΗ͂ ΚΒ΄ ΤΟΥ ΜΗΝΟΣ ΣΕΠΤΕΜΒΡΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ ΙΩΝΑ

* * *

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὁ θέλων πάντας σωθῆναι,
καὶ προγινώσκων σαφῶς,
τὴν ἔκβασιν πραγμάτων,
κέκληκέ σε προφῆτα,
κηρύξαι Νινευΐταις ἐπιστροφήν,
καὶ τελείαν μετάνοιαν,
ὅπως σωθῶσιν βεβαίας καταστροφῆς,
Ἰωνᾶ θεομακάριστε.

Τὴν ἐλεήμονα γνώμην,
εἰδὼς τοῦ Κτίσαντος,
καὶ τῆς φιλανθρωπίας,
τὸ ἀμέτρητον ὕψος,
ἠπείθησας ἐν γνώσει ὦ Ἰωνᾶ,
καὶ φυγεῖν ἐσχεδίασας,
εἰς τὴν Θαρσεὶς αὐτοβούλως ἀπατηθείς,
καὶ κινδύνοις περιέπεσας.
Κατὰ τῆς σῆς ἀπειθείας,
φύσις ἐγήγερται,
καὶ κλύδων μέγας σφόδρα,
Ἰωνᾶ ἐγεγόνει,
διὸ καὶ ἐκληρώθης ὅπως ῥιφῇς,
ἐν θαλάσσῃ ὡς αἴτιος,

τούτου λαβὼν ἀπειθείας σου τὸν μισθόν,
ἐκ Κυρίου Παντοκράτορος.

Πείρᾳ προφῆτα Δεσπότου,
δίκην μεμάθηκας,
ὅτι ἀπὸ προσώπου,
οὐ δυνήσεται πᾶς τις,
Αὐτοῦ ἀποκρυβῆναι,
διὸ θηρός,
θαλαττίου τριήμερος,
ἐν τοῖς ἐγκάτοις κατῴκησας θαυμαστῶς,
προτυπώσας τὴν Ἀνάστασιν.

Ἀπὸ κοιλίας τοῦ κήτους,
βοήσας ὢ Ἰωνᾶ,
εἰσακουσθεὶς ἐξῆλθες,
θαυμαστῶς σεσῳσμένος,
καὶ αὖθις ἐπορεύθης εἰς Νινευΐ,
τοῦ κηρύξαι μετάνοιαν,
ἣν καὶ ἡμῖν τοῖς τιμῶσί σε ἐκ ψυχῆς,
ἐν τῷ βίῳ τούτῳ δώρησαι.

Ὥσπερ ἡ σὴ κολοκύνθη,
ψυχή ἐξήρανται,
ὢ Ἰωνᾶ προφῆτα,
ἡ ἐμὴ ἁμαρτίαις,
διὸ μεγάλως κράζω,
ταῖς σαῖς εὐχαῖς,
δρόσον θείαν τοῦ Πνεύματος,
δός μοι πρὸ τέλους τοῦ βίου,
ἵνα κἀγώ,
Νινευΐ σχῶ τὴν μετάνοιαν.

Δόξα. Ἦχος β΄.

Ὢ! ἀμετρήτου βάθους Θεοῦ ἀγάπης,
δι' ἧς πρὸς σωτηρίαν θαυμαστῶς ἄγει τὸν ἄνθρωπον.
Ταύτης προφῆτα Ἰωνᾶ,

σάλπιγξ ἐγένου μεγαλόφθογγος,
εἰς Νινευῒ τὴν μετάνοιαν κηρύξας,
πρῶτον τῆς αὐτοβούλου ἀπειθείας λαβὼν τὴν πεῖραν,
τριημερεύσας παραδόξως ἐν τῇ κοιλίᾳ τοῦ κήτους.
Ὅθεν τοῖς σὲ τιμῶσιν ἐκ ψυχῆς,
χάρισαι σωτηρίους σταλαγμοὺς δακρύων,
ὅπως τοῦ ποντισμοῦ τῆς ἁμαρτίας,ῒ λυτρωθῶμεν ἅπαντες.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς Χάριτος ἐλθούσης·
ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη,
οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας·
ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος,
ἀντὶ Μωϋσέως Χριστός,
ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.
Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Τὰ Ἀναγνώσματα

Προφητείας Ἰωνᾶ τὸ ἀνάγνωσμα.

Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευΐ, τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσεὶς ἐκ προσώπου Κυρίου καὶ κατέβη εἰς Ἰόππην καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσεὶς καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ καὶ ἐνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσεὶς ἐκ προσώπου Κυρίου. Καὶ Κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι. Καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ καὶ ἀνεβόησαν ἕκαστος πρὸς τὸ θεὸν αὐτοῦ καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου καὶ ἐκάθευδε καὶ ἔρρεγχε. Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ· τί σὺ ῥέγχεις; ἀνάστα καὶ ἐπικαλοῦ τὸν Θεόν σου, ὅπως διασώσῃ ὁ Θεὸς ἡμᾶς καὶ οὐ μὴ ἀπολώμεθα. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· δεῦτε βάλωμεν κλήρους

καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν; καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν. Καὶ εἶπον πρὸς αὐτόν· ἀπάγγειλον ἡμῖν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν; τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ, καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; Καὶ εἶπε πρὸς αὐτούς· δοῦλος Κυρίου εἰμὶ ἐγὼ καὶ τὸν Κύριον Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν καὶ εἶπον πρὸς αὐτόν· τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες, ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς. Καὶ εἶπον πρὸς αὐτόν· τί ποιήσομέν σοι καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγώ, ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστι. Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς. Καὶ ἀνεβόησαν πρὸς Κύριον καὶ εἶπαν· μηδαμῶς, Κύριε, μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον, διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου, πεποίηκας. Καὶ ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον καὶ ἔθυσαν θυσίαν τῷ Κυρίῳ καὶ ηὔξαντο τὰς εὐχάς. Καὶ προσέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

Προφητείας Ἰωνᾶ τὸ ἀνάγνωσμα.

Καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους καὶ εἶπεν· Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου. Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Καὶ ἐγὼ εἶπα· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ

ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου; Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη, ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σέ, Κύριε ὁ Θεός μου. Ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ Κυρίου ἐμνήσθην, καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν τὸν ἅγιόν σου. Φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεον αὐτοῖς ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ. Καὶ προσέταξε Κύριος τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν.

Προφητείας Ἰωνᾶ τὸ ἀνάγνωσμα.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὶ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρός σε. Καὶ ἀνέστη Ἰωνᾶς καὶ ἐπορεύθη εἰς Νινευὶ, καθὰ ἐλάλησε Κύριος· ἡ δὲ Νινευὶ ἦν πόλις μεγάλη τῷ Θεῷ ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας μιᾶς καὶ ἐκήρυξε καὶ εἶπεν· ἔτι τρεῖς ἡμέραι καὶ Νινευὶ καταστραφήσεται. Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὶ τῷ Θεῷ καὶ ἐκήρυξαν νηστείαν καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν. Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευὶ καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ περιείλετο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ καὶ περιεβάλετο σάκκον καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη καὶ ἐῤῥέθη ἐν τῇ Νινευὶ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ λέγων· οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν, μηδὲ νεμέσθωσαν, μηδὲ ὕδωρ πιέτωσαν. Καὶ περιεβάλλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν λέγοντες· Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ καὶ οὐ μὴ ἀπολώμεθα; Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ

μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε. Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην καὶ συνεχύθη, καὶ προσηύξατο πρὸς Κύριον καὶ εἶπεν· Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσείς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Καὶ νῦν, δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ′ ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με μᾶλλον, ἢ ζῆν με. Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σύ; Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ σκηνὴν καὶ ἐκάθητο ὑποκάτω αὐτῆς, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. Καὶ προσέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ. Καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. Καὶ προσέταξεν ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολοκύνθην, καὶ ἀπεξηράνθη. Καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον καὶ προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνι συγκαίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰωνᾶ· καὶ ὠλιγοψύχησε καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ καὶ εἶπε· καλόν μοι ἀποθανεῖν με ἢ ζῆν. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; καὶ εἶπε· σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. Καὶ εἶπε Κύριος· σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ′ αὐτὴν οὐδὲ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα καὶ ὑπὸ νύκτα ἀπώλετο. Ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευῒ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά;

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄

Κατὰ τὴν κλῆσίν σου, θεῖε προφῆτα Ἰωνᾶ, περιστερὰ τῆς μετανοίας ἐξελέγης, παρὰ τοῦ Κυρίου τοῦ θέλοντος πάντων ἀνθρώπων τὴν σωτηρίαν. Καὶ μὴ πειθήσας τῇ προσταγῇ

Αὐτοῦ, εἰς πέλαγος πειρασμῶν κατεποντίσθης, ὅπως μάθῃς ἐκ τῶν πραγμάτων, ὅτι τὸ ἀμέτρητον τὸ ἔλεος καὶ ἡ φιλανθρωπία Αὐτοῦ, τὴν κτίσιν ἅπασαν ἀνεξαντλήτως καὶ πολυδώρως κατακλύζουσι.

Ἦχος β΄

Ὡς ἀνεξιχνίαστοι αἱ βουλαὶ καὶ αἱ ὁδοὶ τοῦ παντελεήμονος Θεοῦ! ταύτας μὴ καλῶς διακρίνας προφῆτα Ἰωνᾶ, τὸ ἴδιον θέλημα ὡς τεῖχος χαλκοῦν ὕψωσας, δοκῶν νικῆσαι τὴν ἀγαπητικὴν Αὐτοῦ πρόνοιαν. Ὅθεν συσχεθεὶς ἀδοκήτως ἐν τῇ κοιλίᾳ τοῦ ἀβυσσοζώου κήτους, ἐβόησας ἐν κλαυθμῷ μετανοίας· Ἀναβήτω ἐκ φθορᾶς ἡ ψυχή μου Κύριε, καὶ ἐπήκουσέ σου εὐθύς, ὁ Φιλάνθρωπος.

Ἦχος γ΄

Τῆς πολυτρόπου προνοίας τοῦ Δεσπότου ἐκλεγεὶς ὄργανον, τῆς μετανοίας σάλπιγξ ψυχοσωτήριος, τοῖς ἀγνοοῦσι Νινευΐταις γέγονας, ἔνδοξε Ἰωνᾶ προφῆτα. Οἵτινες ἐν κατανύξει ἐκζητήσαντες τὸ ἔλεος Κυρίου, τοῦ ἀφανισμοῦ παγγενῶς διεσώθησαν. Σὺ δὲ ἔμαθες ἐκ τῶν πραγμάτων, καὶ διὰ σοῦ καὶ ἡμεῖς, ὅτι Πολεύσπλαγχνος καὶ Οἰκτίρμων ὑπάρχει ἀεί, ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος.

Ἦχος δ΄

Τῆς σκιοτρόφου κολοκύνθης λυπηθεὶς σφόδρα τὴν ξήρανσιν, ἤκουσας ἐκ τοῦ Θεοῦ καὶ ἐδιδάχθης, μὴ ἐρευνᾶν ὑπὲρ τὰ ἐσκαμμένα, τὰς ἐνεργείας Αὐτοῦ, Ἰωνᾶ θεοδόξαστε. Ὅθεν ἐν τοῖς πειρασμοῖς ἐν οἷς περιέπεσας ἐξ ἰδιογνωμίας, διδάσκαλος ἡμῶν γέγονας, μὴ τολμᾶν ἐξισοῦσθαι κατ' ἐλάχιστον, τῇ φιλανθρωπίᾳ τοῦ Δημιουργοῦ, τοῦ πάντα διιθύνοντος, εἰς σωτηρίαν ἡμῶν αἰώνιον.

Δόξα. Ἦχος πλ.α΄.

Τοῦ κατ' εἰκόνα Αὐτοῦ πλάσαντος ἅπαν γένος ἀνθρώπων, ὦ προφῆτα Ἰωνᾶ, εἰ καὶ ζωηρῶς τὸ πρῶτον ἀποδυσπετήσας, διάκονος ἀπεφάνθης, τῆς σωτηρίας τῆς μυριανθρώπου Νινευΐ. Ἐν δὲ τῇ τριημέρῳ καταπόσει ἐν τῇ κοιλίᾳ τοῦ θαλαττίου θηρός, τύπος ἐμφανὴς γέγονας, τοῦ ἐν τῷ

ζωοδόχῳ τάφῳ τριημερεύσαντος, καὶ ἐνδόξως ἀναστάντος Σωτῆρος ἡμῶν. Ὃν μὴ παύσῃ καθικετεύων, ἐν μετανοίᾳ ψυχοσωτηρίῳ τελέσαι τὰς τρίβους τῆς ζωῆς, πάντας τοὺς ἐπιτελοῦντας ἐκ ψυχῆς, τὴν μνήμην σου τὴν χαρνόσυνον μακάριε.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Προφητείας τὸ χάρισμα,
ἐκ Θεοῦ εἰσδεξάμενος,
΄Ιωνᾶ ἐντέταλσαι τοῦ πορεύσασθαι,
εἰς Νινευῒ καὶ μετάνοιαν,
κηρύξαι σωσίψυχον,
τοῖς ἐκεῖσε οἰκισταῖς,
ἀλλὰ δείξας ἀπείθειαν,
πρὸς Θαρσεὶς ἐβουλεύσω μεταβῆναι,
ὅθεν εἴληφας μισθόν σου,
τὸν ποντισμὸν τὸν παράδοξον.

Στίχ. Μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Ἀναστάσεως γέγονας,
τοῦ Κυρίου ὑπόδειγμα,
Ἰωνᾶ μακάριε εἰς τὰ ἔγκατα,
θηρὸς βυθίου τριήμερον,
κλεισθεὶς καὶ διέμεινας,
ἔνθεν πάλιν εἰς τὸ φῶς,
τῆς ἡμέρας ἐκβέβλησαι,
θείῳ νεύματι,
Νινευΐταις μετάνοιαν κηρύξας,

καὶ τὸ βάθος τοῦ ἐλέους,
πείρᾳ μαθὼν Παντοκράτορος.

Στίχ. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.

Πειρασμοὶ κυματούμενοι,
ὥσπερ ὄρη ἐγείρονται,
βυθισμὸν αἰώνιον προμηνύοντες,
διὸ προφῆτα βοῶμέν σοι·
ὡς σὺ θηρὸς σέσωσαι,
τοῦ βυθίου θαυμαστῶς,
οὕτω σῶσον τοὺς μέλποντας, καὶ γεραίροντας,
Ἰωνᾶ τὴν ἁγίαν ἑορτήν σου,
καὶ πρὸς Κύριον ἱκέτην,
προβαλλομένους ἀείποτε.

Δόξα. Ἦχος ὁ αὐτός.

Τοῦ Φιλανθρώπου Κυρίου προβλέπων τὴν εὐσπλαγχνίαν,
καὶ χαίροντος ἐπὶ τῇ ἐπιστροφῇ τῶν ἁμαρτανόντων,
λανθάνων ἐζήλωσας Ἰωνᾶ ἀποσταλείς,
κηρύξαι τὴν μετάνοιαν Νινευΐταις.
Καὶ ἐκ προσώπου Αὐτοῦ νομίσας διαφυγεῖν,
εἰς κλύδωνα καταποντισμοῦ παιδευτικῶς κατέληξας.
Ἀλλὰ διασωθεὶς ὑπὲρ πάντα λόγον καὶ νόησιν,
πρέσβευε λυτρωθῆναι καὶ ἡμᾶς ἐκ τοῦ πνιγμοῦ τῆς ἁμαρτίας,
τοὺς γεραίροντας ἐν ὕμνοις, τὴν χαροπάροχον μνήμην σου.
Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Νεῦσον παρακλήσει σῶν οἰκετῶν, Πανάμωμε,
παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις,
πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα·
σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν,
καὶ τὴν σὴν προστασίαν κεκτήμεθα.
Μὴ αἰσχυνθῶμεν, Δέσποινα, σὲ προσκαλούμενοι,
σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων·
Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη,
καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.
*(ποίημα +Γέρ Γερασίμου Μικραγιαννανίτου)*

Σάλπιγξ εὔηχος θείων κριμάτων,
κόσμῳ πέφηνας, ἀναφωνοῦσα,
Ἰωνᾶ, τοῖς Νινευΐταις μετάνοιαν,
καὶ συσχεθεὶς ἐν τῷ κήτει προέγραψας,
τὴν τοῦ Σωτῆρος τριήμερον ἔγερσιν.
Ὅθεν πρέσβευε, δοθῆναι τοῖς σὲ γεραίρουσι,
πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

Θεοτοκίον

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν,
ἀνυμνοῦμεν, Θεοτόκε Παρθένε·
ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ,
ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν,
τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος,
ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

Ἀπόλυσις



ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Προφῆτα Ἰωνᾶ, τὴν ἁγίαν σου μνήμην, τελοῦσιν εὐλαβῶς,

τὴν μετάνοιαν δίδου, ὡς πάλαι ἐδίδαξας, Νινευΐταις καὶ εἵλκυσας,
τὴν συγχώρησιν, πολυευσπλάγχνου Δεσπότου, καὶ διέσωσας, αὐτοὺς ὀργῆς τῆς δικαίας, ὡς κήρυξ θεόσταλτος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία,
καὶ σῴζεις τοὺς δούλους σου.

Μετὰ τὴν β΄ στιχολογίαν.
Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.
Ἀνεξιχνίαστον, τὸ θεῖον πέλαγος, τῆς συγχωρήσεως καὶ τῆς χρηστότητος, δι' ὧν τὸν κόσμον ἐλεεῖ, ὁ πανοικτίρμων Κύριος, Οὗπερ τὸ φιλάνθρωπον, Ἰωνᾶ πως ἐζήλωσας, ἀλλὰ πείρᾳ ἔμαθες, ὅτι πάντας ἐκάλεσεν, ἀνθρώπους εἰς ζωὴν αἰωνίαν, εἰ μετανοίᾳ τελειώσωσι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν νεκρωθεῖσάν μου, ψυχὴν τοῖς πάθεσι, ζώωσον Πάναγνε, σεμνὴ πανάμωμε, ὡς παῤῥησίαν μητρικήν, πρὸς τὸν Υἱόν σου ἔχουσα. Σὺ γὰρ μόνη ἔτεκες, ὑπὲρ νοῦν καὶ διάνοιαν, Λόγον τὸν συνάναρχον, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ζωὴν καὶ ἀφθαρσίαν τῷ κόσμῳ, διδόντα ἀεὶ καὶ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.
Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Μετανοίας σε κήρυκα θαυμαστὸν, καὶ διδάσκαλον μέγιστον Ἰωνᾶ, προφῆτα γινώσκοντες, ἐκ ψυχῆς σε αἰτούμεθα, ταύτην πλουσίως δοῦναι, ἡμῖν τοῖς τιμῶσί σε, ἵνα μὴ ἐκ τοῦ κήτους, ἐχθροῦ ἀπολώμεθα, ἀλλ' ἐν ἀναστάσει, ζωηφόρῳ Κυρίου, τὰς τρίβους εὐθύνωμεν, καὶ ζωῆς ἐπιτύχωμεν, δι' ἣν πάντες ἐπλάσθημεν, δοξάζοντες Αὐτὸν

μετὰ σοῦ, καὶ βοῶμεν· δόξα σοι Φιλάνθρωπε, σωτηρίαν ὁ θέλων, ἀνθρώπων ὡς εὔσπλαγχνος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, ὑπεράμωμε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ καταύγασον δέομαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, καὶ τοῦ ῥύπου με κάθαρον, πρεσβεύουσα Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν, τῷ εὐσεβῶς προσκυνοῦντι, τὸν πανάγιον Τόκον σου.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.
Στίχος· Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, Κατὰ Ματθαῖον.
(κεφ.κγ, 29-38)

Εἶπεν ὁ Κύριος·Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων καὶ λέγετε· εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. Ὄφεις, γεννήματα ἐχιδνῶν! πῶς φύγετε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν, ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτέννουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς

ἀπεσταλμένους πρὸς αὐτήν! ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ἡ ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε! Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τοῦ σοῦ Προφήτου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, τὸ στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β΄.
Στίχ. Ἐλέησόν με ὁ Θεός....

Τῆς παγκοσμίου ἀναστάσεως τύπος γενόμενος, προφῆτα Ἰωνᾶ, ταύτης ἐνδόξως ἀξίωσον, τοὺς σὲ τιμῶντας εὐλαβῶς, καὶ τῷ ἐκ τάφου τριημέρῳ ἐγερθέντι Κυρίῳ, ταῖς ἱκεσίαις σου ἀδιαστάτως σύναψον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

*Ὁ Κανών, (οὗτινος τὰ μὲν β΄ πρῶτα τροπάρια εἰσὶ τοῦ Προφήτου, τὸ δὲ γ΄ τοῦ συνωνύμου ὁσίου Ἰωνᾶ τοῦ Σαββαΐτου, πατρὸς τῶν Γραπτῶν ὁσίων Θεοδώρου καὶ Θεοφάνους), ἀντιγραφεὶς ἐκ χειρογράφου κώδικος καὶ παραχωρηθεὶς εὐγενῶς ὑπὸ τῆς Ἱ.Μ.Μ.Βατοπαιδίου Ἁγίου Ὄρους Ἄθω.*

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Τῆς ψυχῆς φυλάξας Ἰωνᾶ, μάκαρ τὸ ἀξίωμα, θεοειδὲς ἐχρημάτισας ἄγαλμα, καὶ τὴν ὑπερκόσμιον, προτυποῦν ἠξιώθης Ἀνάστασιν, ἣν ὑμνολογοῦμεν, ἅπαντες ἐνδόξως γὰρ δεδόξασται.

Ὁλικῶς τῷ πόθῳ πρὸς Θεόν, νεύσας παναοίδιμε, μαρμαρυγαῖς ταῖς ἐκεῖθεν πεφώτισαι, καὶ προφήτης ἔθνεσι, μεγαλόφωνος παρ' αὐτοῦ προκεχείρισαι, τὰ τῆς μετανοίας, φάρμακα διδάσκων τὰ σωτήρια.

Ὑπηρέτης θεῖος γεγονώς, πάτερ διεφύλαξας, ὡς ἱερεὺς τοῦ Σωτῆρος τὸ πρόσταγμα, κοσμικὴν γὰρ σύγχυσιν,

καταλέλοιπας, τὸν σταυρόν σου ἀράμενος, ἴχνεσι παμμάκαρ ἠκολούθησας.

Θεοτοκίον

Ἀνατείλας Ἥλιος ἐκ σοῦ, Μῆτερ ἀειπάρθενε, ὁ ἐκ Πατρὸς πρὸ αἰώνων ὁρώμενος, καὶ τῷ ὁρωμένῳ δέ, παραδόξως περιγραφόμενος σώματι, τῷ τῆς εὐσεβείας, φέγγει τοὺς ἀνθρώπους κατεφώτισε.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ὁ προφήτης, προβλέπων δυνάμει θείᾳ, τὴν χάριν μεταβαίνουσαν εἰς τὰ ἔθνη, εἰς πέλαγος ἀθυμίας κατηνέχθη, βοῶν σοι Δέσποτα· σὺ εἶ Θεός, ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Ὑποφήνας, τὴν εὐσέβειαν τοῖς πλωτῆρσι, καὶ δοῦλον, τοῦ Ὑψίστου σαὐτὸν διδάξας, εἰς πέλαγος ἀπεῤῥίφης καὶ ἀνακράζων, προφῆτα ἔνδοξε· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Ῥημάτων, ἐπακούσας τῶν τοῦ Δεσπότου, κατέλιπες τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ, προσήγαγες τὸ σπέρμα σου τῷ Κυρίῳ, κραυγάζων Ὅσιε· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Θεοτοκίον

Σὺ μόνη παρὰ πάντας τοὺς ἀπ' αἰῶνος, μεγάλων ἠξιώθης καὶ ὑπὲρ φύσιν, Θεὸν γὰρ τὸν ἀχώρητον πάσῃ κτίσει, ἐν μήτρᾳ ἤνεγκας, καὶ ἐσωμάτωσας, ὅθεν Θεοτόκον σε πάντες σέβομεν.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Προφήτης γενόμενος, τῆς παρουσίας Χριστοῦ, αὐτοῦ τὴν τριήμερον, μάκαρ Ἀνάστασιν, σαφῶς προεμήνυσας, κήτους

τριημερεύσας, ἀβλαβῶς ἐν κοιλίᾳ, κράζων νῦν ἀναβήτω, ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ τὸν ἐκ φθορᾶς τοὺς βροτούς, μέλλοντα ῥύσασθαι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἁγνὴ Παναμώμητε καὶ ἀπειρόγαμε, ἡ μόνη τὸν ἄχρονον Υἱὸν καὶ Λόγον Θεοῦ, ἐν χρόνῳ κυήσασα, τοῦτον σὺν τοῖς Ἁγίοις, καὶ σεπτοῖς Πατριάρχαις, Μάρτυσι καὶ Ὁσίοις, καὶ Προφήταις δυσώπει, δωρήσασθαι ἡμῖν ἱλασμόν, καὶ μέγα ἔλεος.

ᾨδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Οὐκ ἔφερες, καθορᾷν τοῦ λαοῦ σου τὴν ἔκπτωσιν, Ἰωνᾶ θεσπέσιε, ὅθεν καὶ φεύγειν προῄρησαι, κήτει συνεσχέθης δέ, ταφὴν τριήμερον, μάκαρ προτυπῶν τοῦ Χριστοῦ.

Φιλάνθρωπον, τὸν Δεσπότην γινώσκων οὐκ ἔστεγε, προφητείας χάρισμα βλέπειν διαχλευαζόμενον, ὅθεν ἀνεβάλλετο, Θεοῦ τὸ πρόσταγμα φεύγων ὁ θαυμάσιος.

Τὴν πάντιμον, ἱερέων ἀξίαν ἐκόσμησας, Ἰωνᾶ μακάριε, καὶ μοναστῶν δὲ συστήμασι, χαίρων σὺ προσέδραμες, πανοικεσίᾳ παμμάκαρ προσαγόμενος.

Θεοτοκίον

Ἰώμενος, τὴν τῆς Εὔας ἀρχαίαν παράβασιν, σὲ τὴν Παναμώμητον καὶ Παναγίαν ἐσκήνωσεν, ὅλον με τὸν ἄνθρωπον, ἀναμορφώσας πεσόντα ὁ ὑπέρθεος.

ᾨδὴ ε΄. Ὁ φωτισμός.

Ὁ Ἰωνᾶς, ὁ προφήτης ὁ μέγας τῆς τριημέρου, γέγονε προτύπωσις τῆς ἐν πέτρᾳ Χριστὲ ταφῆς σου, δι᾽ ἧς ἔσωσας Λόγε, τοὺς ἐν πίστει καὶ πόθῳ σοι κράζοντας· ἕτερον ἐκτός σου, Θεὸν οὐ γινώσκομεν.

Ὑπεριδεῖν, οὐκ ἠνέσχουΧριστέ μου τοὺς Νινευΐτας, ἐν βόθρῳ κειμένους τῆς ἁμαρτίας, ἀλλ' οἰκτιρήσας ἐξαπέστειλας τούτοις, τὸν προφήτην Ἰωνᾶν Δέσποτα, κήρυκα βοῶντα, σαφῶς τὴν μετάνοιαν.

Χριστοτερπεῖ, σεμνυνόμενος βίῳ Ἰωνᾶ μάκαρ, τοῖς πᾶσιν αἰδέσιμος ἀνεδείχθης, οἶδε γὰρ ὄντως ἀρετὴ ἐπιδόξους, ἐκτελέσαι τοὺς αὐτὴν ἔχοντας, ὤφθης ἱερεὺς γὰρ Χριστοῦ ἀξιόληπτος.

Θεοτοκίον

Μίαν ἡμῖν, ἐν δυσὶ ταῖς οὐσίαις καθορωμένην, ὑπόστασιν μόνη Εὐλογημένη, τίκτεις ἀφράστως, τὸν τοῦ Θεοῦ Θεὸν Λόγον, σαρκωθέντα δι' οἶκτον ἄφατον, τοῦτον ἐκδυσώπει, φρουρεῖν τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἰωνᾶν ἐκ τοῦ κήτους ὡς ἔσωσας, Σῶτερ ὑπὲρ ἔννοιαν, ἀδιαλώβητον, οὕτω καὶ νῦν διάσωσον, τὴν ψυχήν μου παγίδων τοῦ δράκοντος.

Σωτηρίας προφῆτα σὺ πρόξενος, γέγονας πιστεύσασι τῷ σῷ κηρύγματι, τοῖς Νινευΐταις ἔνδοξε, μετανοίας βοήσας τὸ κήρυγμα.

Εὐσεβῶς μοναζόντων συστήματα, τρέφων οὐ διέλιπες Πάτερ μακάριε, διὸ τρυφῆς τῆς κρείττονος, ἐν σκηναῖς οὐρανίαις ἠξίωσαι.

Θεοτοκίον

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.
*(ποίημα +Γέρ. Γερασίμου Μικραγιαννανίτου)*

Ἐν κοιλίᾳ ἔνδοξε, τριημερεύσας τοῦ κήτους, τοῦ Χριστοῦ τὴν κάθοδον,
τοῖς ἐν τῷ ᾅδῃ προφαίνεις, πάθος γάρ, δεχθεὶς σαρκὶ ἑκὼν ὁ Δεσπότης,
ἔλαμψεν, ἀπὸ τοῦ μνήματος τριημέρως· διὰ τοῦτό σε Προφῆτα,
ὡς τύπον τούτου, Ἰωνᾶ μέλπομεν.

Ὁ Οἶκος

Τοῦ Δεσπότου εἰδὼς τὸ φιλάνθρωπον,
καὶ ποθοῦντος σωθῆναι τοὺς ἅπαντας,
οὐκ ἠθέλησας ὑπακοῦσαι τῷ Αὐτοῦ ἐντάλματι,
ἀλλὰ φεύγων καθάπερ τις δραπέτης,
εἰς πληθὺν ὅλην ἐνέπεσας πειρασμῶν.
Ὅθεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους παραδόξως καταβροχισθείς,
αὖθις ὑπὲρ λόγον διασέσωσαι,
καὶ μετάνοιαν κηρύξας ὡς προσετάχθης τοῖς Νινευΐταις,
σωτὴρ τούτων μὲν γέγονας,
τύπος δὲ τοῦ ἐκ τάφου τριημέρως Ἐγερθέντος Κυρίου·
διό σε προφῆτα Ἰωνᾶ, προθύμως μέλπομεν.

Τὸ Συναξάριον

Τῇ ΚΒ΄ τοῦ αὐτοῦ μηνός, ἑορτάζομεν ἐκ μεταθέσεως τὴν μνήμην τοῦ ἁγίου ἐνδόξου προφήτου Ἰωνᾶ.
*Στίχοι.*
Ἀπὸ προσώπου τοῦ Θεοῦ φεύγεις πάλαι,
Νῦν δὲ πρόσωπον, Ἰωνᾶ, τούτου βλέπεις.

Μνήμη τοῦ ἁγίου ἐνδόξου ἱερομάρτυρος Φωκᾶ τοῦ θαυματουργοῦ, τοῦ ἐν λουτρῷ σφοδρῶς πυρωθέντι τελειωθέντος, ἐν Σινώπῃ τοῦ Πόντου.
*Στίχοι.*
Φωκᾶ, τὸ λουτρὸν σμήγματος παντὸς δέχου·

Λουτρὸν γὰρ ἦν ἀγῶνος, οὐ καθαρσίου.
Εἰκάδι δευτερίῃ λουτρὸν πέφνεν ἔνδοθι Φωκᾶν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Φωκᾶ τοῦ κηπουροῦ.

*Στίχοι.*

Ἤδει χάριν σοι, σοῦ Χάριν θνῄσκων, Λόγε,
Φωκᾶς ὁ μάρτυς τῷ διὰ ξίφους τέλει.

Μνήμη τῶν ἁγίων μαρτύρων Ἰσαάκ, Μαρτίνου καὶ Νικολάου, ξίφει τελειωθέντων.

*Στίχοι.*

Χριστοῦ τὸ θάρσος ἐμπνέοντος ὑψόθεν,
Πρὸς τὴν σπάθην ἔσπευδεν ἐκπνεῖν Μαρτῖνος.

Πάθους τὸ λεῖπον Ἰσαὰκ Σάῤῥας τέκνου,
Σφαγεὶς ἀνεπλήρωσεν Ἰσαὰκ νέος.

Νίκην ἐφεῦρε Νικόλαος ἀρίστην,
Ὁμολογήσας καὶ Χριστοῦ λαβὼν δόξαν.

Μνήμη τῶν ἁγίων ἐνδόξων εἴκοσιν ἓξ Ὁσιομαρτύρων Ζωγραφιτῶν, τῶν ἐλεγξάντων τοὺς Λατινόφρονας, τόν τε βασιλέα Μιχαὴλ Η΄ Παλαιολόγον καὶ τὸν πατριάρχην Ἰωάννην τὸν Βέκκον, ἄνωθεν τοῦ πύργου καὶ πυρὶ τελειωθέντων.

*Στίχοι.*

Ὡς πυρίκαυστοι θυσίαι τῷ Κυρίῳ,
Οἱ εἰκοσιὲξ ὡράθησαν εἰκότως.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ ἐν τῇ ἐν Ἄθω Ἱερᾷ Μονῇ Ζωγράφου ἀσκήσαντος καὶ θεοφιλῶς τελειωθέντος κατὰ τὸ ἔτος 1323.

*Στίχοι.*

Μύσας τὸ ὄμμα σώματος βλέπεις ἄνω,
Κοσμᾶ ὅσιε, τὸ πρόσωπον Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Ἰωνᾶς, κτίτωρ τῆς ἐν τῇ λίμνῃ Γιασέρᾳ Ἱερᾶς Μονῆς τοῦ Εὐαγγελισμοῦ ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Ἄγγελος Χριστοῦ εὐηγγελίσατό σοι,
Ἰωνᾶ, ἔγειραι! δεῦρο πρὸς τὸν Πατέρα.

Ὁ ὅσιος Θεοφάνης ὁ ἡσυχαστὴς καὶ ἔγκλειστος ἐν τοῖς Σπηλαίοις τοῦ Κιέβου, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Σιωπὴν ἀσκῶν, γλῶσσαν τοῦ Παραδείσου,
Θεοφάνης ἔγκλειστος, νῦν Χριστῷ ᾄδει.

Ὁ ὅσιος πατὴρ ἡμῶν Σωφρόνιος, ἐπίσκοπος Βράτσης τῆς Βουλγαρίας ἐν εἰρήνῃ τελειοῦται, κατὰ τὸ ἔτος 1813.

Στίχοι.

Τὸν Χριστὸν μιμούμενος ὡς πιστὸς δοῦλος.
Ἔλαμψε Σωφρόνιος ὡς ποιμὴν θεῖος.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ΄. Ἀντίθεον πρόσταγμα.

Μὴ φέροντα βλέπων σε, τὴν ἀχθηδόνα, καὶ λύπῃ τρυχόμενον Προφῆτα πανσεβάσμιε, εὐθέως ἐφήπλωσεν ἐκ παραδόξου σκιάν, ἄνεσίν σοι φέρουσαν, ὁ Ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ἐκ βρέφους τῷ Κτίστῃ σου, καθιερώθης Ἰωνᾶ πανεύφημε, θεόφρον παμμακάριστε, εὐχῆς γὰρ σὺ βλάστημα, προφητικῆς γεγονώς, χάριν τὴν τοῦ Πνεύματος λαβεῖν, κατηξιώθης καὶ σὺ πανόλβιε.

Λογείῳ τῆς κρίσεως κατεκοσμήθης, ἱερεὺς γενόμενος, Ἰωνᾶ πάτερ ὅσιε, διό περ ἐχώρησας ἔνδον τοῦ ἄνω ναοῦ, ἄδυτα θεώμενος, τῆς σῆς ἱερουργίας καρπὸν δρεψάμενος.

Θεοτοκίον

Νεφέλη Παρθένος σε δικαιοσύνης, τὸν Ἥλιον ἔτεκε Παρθένος διαμείνασα, τῷ πάχει τοῦ σώματος, προσομιλήσαντα, ἄνθρωπον γενόμενον Χριστέ, ἣν ἀνυμνοῦμεν ὡς ὑπερένδοξον.

ᾨδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὡς ἐν παστάδι τῷ θηρί, θεορρῆμον Ἰωνᾶ χεῖρας ἐκτείνας, ἀνεβόησας λέγων τῷ παντεπόπτῃ Θεῷ· Σωτήρ μου φθορᾶς με ἀνάγαγε, πάλιν ἀναβήτω, πρὸς σὲ νῦν ἡ ζωή μου.

Τὸ νοερόν σου τῆς ψυχῆς, ἐκκαθάρας μολυσμοῦ συνανεκράθης, τῷ ποθουμένῳ μάκαρ, θεοειδὴς γεγονώς, τῇ θείᾳ νοήσει θεούμενος, καὶ ὑπερυψῶν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁλοσχερῶς εἰλικρινεῖ, διαθέσει τὸν Χριστὸν ἐπιποθήσας, ἱερομύστα πάτερ, ἀκαταπαύστοις φωναῖς, ἐβόας ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Ἱερωτάταις σε φωναῖς, ἱερώτατον ἁγνὴ Θεοῦ προφῆται, ἐσομένην Μητέρα προανεφώνουν τρανῶς, τοῦ πάντων δεσπόζοντος Ἄχραντε, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ΄. Ἀνάρχου γεννήτορος.

Λαμπάσι τῆς χάριτος, καταυγασθεὶς διέπρεψας, Ἰωνᾶ θεοφάντορ, Χριστοῦ προτύπωσις, ὅθεν ὡς προφήτην σε πάντες οἱ εὐσεβῶς, τοῖς σοῖς ἐντρυφῶντες, πανσόφοις διδάγμασιν, εὐφημοῦμεν ἀξιάγαστε.

Ἐνθέοις ἐν ᾄσμασι, πανευσευβῶς ὑμνοῦμέν σε, τῆς Χριστοῦ ὡς φανέντα ταφῆς προχάραγμα, καὶ τῆς ἀναστάσεως μάκαρ

τῆς ὑπὲρ νοῦν, σημεῖον δειχθέντα, ἧς περ ἀπολαύσαιμεν, μεσιτείαις σου θεόληπτε.

Σκηναῖς οὐρανίοις σε, ὁ Πλαστουργὸς κατῴκησε, τῶν αὐτοῦ μυστηρίων, ὡς ὑπηρέτην σεπτόν, πάτερ Ἰωνᾶ θεοφόρε καὶ νῦν ἡμᾶς, τοὺς σοὺς ἐποπτεύοις, υἱοὺς παμμακάριστε, τοὺς σὲ νῦν καταγεραίροντας.

Θεοτοκίον

Νυμφὼν ἐχρημάτισας, τῆς ὑπὲρ νοῦν σαρκώσεως, τῆς τοῦ Λόγου Παρθένε θεογεννήτρια, περιβεβλημένη ἐν δόξῃ τῶν ἀρετῶν, καὶ πεποικιλμένη, διό σε πανάμωμον, Θεοτόκον καταγγέλλομεν.

Ἐξαποστειλάριον Ἦχος β΄.Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τοὺς Νινευΐτας ἔσωσας, Ἰωνᾶ καταπείσας, τοῖς θεοπνεύστοις λόγοις σου,
ἀποσχεῖν ἁμαρτίας, καὶ ἐν κοιλίᾳ τοῦ κήτους, τριημέρως οἰκήσας,
τύπος Κυρίου γέγονας, ἀναστάντος ἐκ τάφου θεοπρεπῶς,
καὶ ἡμᾶς ἐγείραντος ἐκ θανάτου· διὸ ἐν ὕμνοις μέλπομεν,
τὴν σὴν μνήμην τιμῶντες.

Θεοτοκίον, ὅμοιον.

Χαῖρε κατάρας λύτρωσις, τοῦ Ἀδὰμ Θεοτόκε, χαῖρε σεμνὴ μητρόθεε, χαῖρε ἔμψυχε βάτε, χαῖρε λαμπάς, χαῖρε θρόνε, χαῖρε κλίμαξ καὶ πύλη, χαῖρε τὸ θεῖον ὄχημα, χαῖρε κούφη νεφέλη, χαῖρε ναέ, χαῖρε στάμνε πάγχρυσε, χαῖρε ὄρος, χαῖρε σκηνὴ καὶ τράπεζα, χαῖρε Εὔας ἡ λύσις.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ.δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.

Τῆς προφητείας τὸ χάρισμα, ἀπὸ Θεοῦ Ἰωνᾶ, δωρεὰν εἰσδεξάμενος, μετανοίας γέγονας, ὄντως σάλπιγξ σωτήριος·διὸ εἰς πόλιν μακρὰν ἀπέσταλσαι, Νινευϊτῶν εἰπεῖν τὴν ἀπόφασιν, τῆς θείας κρίσεως, ὅτι ἐπίκειται, τιμωρία ἄμεσος εἰ μὴ εὐθύς, ἁμαρτίας παύσωσιν μετανοήσαντες.

Τὸ τοῦ Δεσπότου φιλάνθρωπον, ἐπεγνωκὼς Ἰωνᾶ, ὅτι πάντα μετέρχεται,
τὰ ἐπιτηδεύματα, πρὸς σωτηρίαν βροτῶν, μὴ ὑπακούσας
Αὐτοῦ ἐντάλματι, τοῦ μεταβῆναι Θαρσεὶς ἠθέλησας· ὅθεν τριήμερος,
εἰς κοιλίαν κέκλεισαι κήτους λαβών, πεῖραν αὐτοβούλου σου,
παρακοῆς θαυμαστῶς.

Τῆς μετανοίας τὸ κήρυγμα, καρπὸν παρέσχε πολύν,
Νινευΐταις νηστεύσασι, καὶ σποδῷ καὶ ῥάκεσι, ἀλλαγὴν ἐπιδείξασι·
διὸ Κυρίου ὀργὴ ἐπαύσατο, ἀλλὰ ἡ λύπη σὲ κατεσκότισε, κατανοήσαντα,
τούτου τὸ φιλεύσπλαγχνον, ὦ Ἰωνᾶ, δι' οὗ κτίσιν ἅπασαν,
κρατεῖ εἰς σύστασιν.

Πολυαμάρτητοι πέλοντες, σὲ πρὸς Θεὸν Ἰωνᾶ, ὡς ἱκέτην προβάλλομεν, καὶ Αὐτοῦ τὸ ἔλεος, ἐκζητοῦμεν τὸ ἄπειρον, ὅπως τὸν βίον καλῶς τελέσωμεν, ἐν μετανοίᾳ καὶ ὁσιότητι, ἵνα γενώμεθα, Παραδείσου μέτοχοι τοῦ ποθητοῦ, σὺν Ἁγίοις ἅπασι, προφῆτα ἔνδοξε.

Δόξα. Ἦχος ὁ αὐτός.

Τὴν ταραχώδη θάλασαν τοῦ βίου διαπλέοντες,
καὶ κινδυνεύοντες ὑπὸ κυμάτων ἁμαρτίας καταποντισθῆναι,
σὲ ἱκετεύομεν προφῆτα τοῦ Κυρίου Ἰωνᾶ,
ὡς ἐν τῷ κήτει τῷ βυθίῳ ἐν εὐχαῖς τριημερεύσαντι,
καὶ τὴν Ἀνάστασιν Χριστοῦ τρανῶς προτυπώσαντι,
ὅπως ἐν μετανοίᾳ ὁλοκαρδίῳ καταξιωθῶμεν,

www.tezaurliturgic.ro

λευκᾶναι τὴν μέλαινα στολὴν τῆς ψυχῆς, ὡς ἄλλοι Νινευΐται,
καὶ κληρονόμοι γενώμεθα,
τῆς Βασιλείας τοῦ Φιλανθρώπου Δεσπότου,
οἱ ὕμνοις καὶ ᾠδαῖς εὐγνώμοσι, τὴν μνήμην σου ἑορτάζοντες.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν
Ὁ Ἀπόστολος

Προκείμενον. Ἦχος α΄. (Ψαλμὸς 109).
Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.
Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολυεύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων. Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ, ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. Κακοπαθεῖ τις ἐν ὑμῖν; Προσευχέσθω· εὐθυμεῖ τις; Ψαλλέτω. Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ’ αὐτὸν ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν,

καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ· καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. Ἀδελφοί, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

Ἀλληλούϊα (γ΄). Ἦχος δ΄. (Ψαλμ. 98 & 33).

Στίχ. Μωσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν.

## Τὸ Εὐαγγέλιον

### Ἐκ τοῦ κατὰ Ματθαῖον

Τῷ καιρῷ ἐκείνῳ, ἦλθον πρὸς τὸν Ἰησοῦν τινὲς τῶν γραμματέων καὶ Φαρισαίων λέγοντες· διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰμὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἐγένετο Ἰωνᾶς ὁ προφήτης ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτήν, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος, καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε.

## Κοινωνικόν.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἀλληλούϊα.

## Μεγαλυνάριον

*(ποίημα +Γέροντος Γερασίμου Μικραγιαννανίτου)*

Βροντὴ οὐρανία τῇ Νινευΐ, ἡ φωνή σου ὤφθη, μετανοίας τὰς ἀπαρχάς,
ταύτῃ προξενοῦσα, ὦ Ἰωνᾶ προφῆτα, καὶ παύουσα κακίας,

www.tezaurliturgic.ro

ὁρμὴν τὴν ἄσχετον.



Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα Ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 18. 11. 2012.